ΔΙΟΝΥΣΙΑΚΩΝ ΕΙΚΟΣΤΟΝ ΟΓΔΟΟΝ.

Ἔνθά τις ἀπρήυντος ἔην ἔρις· ἀμφότεροι γὰρ
Φαῦνος Ἀρισταῖός τε μίαν συνέλασσαν Ἐνυώ,
οἷσιν ἐφωμάρτησε καὶ Αἰακός, ἄξια ῥέζων
Ζηνὸς ἑοῦ γενετῆρος, ὑπὲρ νώτοιο τιταίνων
ἀσπίδα χαλκείην πολυδαίδαλον, ἧς ἐνὶ κύκλῳ
δαίδαλα πολλὰ πέπαστο, τά περ κάμε Λήμνιος ἄκμων.
καὶ στρατιὴ κεκόρυστο πολύτροπος εἰς μόθον Ἰνδῶν
σπερχομένων ἀγεληδόν· ὁ μὲν ταμεσίχροϊ κισσῷ
κραιπνὸς ἐς ὑσμίνην πολυδαίδαλα δίφρα νομεύων
πορδαλίων ἐπέβαινεν, ὁ δὲ φρίσσοντι λεπάδνῳ
ζεῦξεν Ἐρυθραίων ὀρεσίδρομον ἅρμα λεόντων
καὶ βλοσυρὴν ἴθυνε συνωρίδα, κυανέας δὲ
ἄλλος ἐριπτοίητος ἀκοντίζων στίχας Ἰνδῶν
ἀστεμφὴς ἀχάλινον ἐτέρπετο ταῦρον ἱμάσσων,
καί τις ἀναΐξας Κυβεληΐδος εἰς ῥάχιν ἄρκτου
ἔχραε δυσμενέεσσι, καὶ οἴνοπα θύρσον ἑλίσσων
ἡνιόχους ἐφόβησε τανυκνήμων ἐλεφάντων·

28, 1 priores versus in hunc ordinem 7—17. 25. 26. 18—34. 41—44. 1—6. 35—40. 45 redegit *m*. — ἔνθά *LF*; ἐνθά *PM*; Ενθά *fl*; ἔνθα *gmk*. — 2 ἀρισταῖος τε *LPFWMVf* (v. Lehrs[1] 295). — 3 αἴακος *PFWMVfl*. — 6 πέπαστο *LΩ*; lac. et πέστο *V*. — 8 ὃ *gmk*: item 10, saepius. — κισσῷ *LΩ* (ut 25, 237); θυρσῷ *m*. — 10 πορδαλίων *SVgmk*; πορδάλεων *LPM*; πορδαλέων *FWfl*. — ἐπίβαινεν *V*. — 11 ἐρυθραίης *V*; ceterum cf. Bernhardy ad Dion. Per. p. 821. — ὀρεσίδρομον *L* pc., *Ω* (ut 25, 372); ὀρισίδρομον *L* ac., *PWMS*. — 15 τις $LF^2f^*\Omega$; τινας F^1f. — 17 ἡνιόχους *LΩ*; -χου *S*.

ἄλλος ἀκοντίζων στρατιὴν ταμεσίχροϊ κισσῷ
οὐ ξίφος, οὐ σάκος εἶχε περίτροχον, οὐ δόρυ χάρμης
φοίνιον, ἀλλὰ πέτηλα φυτῶν ἑλικώδεα σείων
λεπτῷ χαλκοχίτωνα κατέκτανεν ἀνέρα θαλλῷ.
καὶ πάταγος βρονταῖος ἐπέκτυπεν εἴκελος αὐλῷ·
Σειληνοὶ δ' ἰάχησαν· ἐπεστρατόωντο δὲ Βάκχαι,
νεβρίδας ὡς θώρηκα κατὰ στέρνοιο βαλοῦσαι.
καί τις ὀρεσσινόμων Σατύρων, ἅτε πῶλον ἐλαύνων,
ποσσὶ διχαζομένοισιν ὑπὲρ ῥάχιν ἥστο λεαίνης.
Ἰνδοὶ δ' ἀνταλάλαζον, ἀολλίζων δὲ μαχητὰς
βάρβαρος ἐσμαράγησεν ἀγέστρατος αὐλὸς Ἐνυοῦς·
στέμματα μὲν κορύθεσσιν, ἐπέκτυπε δ' αἰγίδι θώρηξ,
ἔγχεσι θύρσος ἔθυσε, καὶ ἰσάζοντο κοθόρνοις
ἀντίτυποι κνημῖδες· ὁμοζυγέων δὲ φορήων
στοιχάδες ἀλλήλησιν ἐπηρείδοντο βοεῖαι,
καὶ πρυλέες πρυλέεσσιν, ἀερσιλόφῳ δὲ καρήνῳ
Μυγδονίην πήληκα Πελασγιὰς ὤθεε πήληξ.
καὶ κλόνος ἦν προμάχων ἑτερότροπος· ὃς μὲν ἀείρων
Βακχείης ἐλέλιζε μετάρσιον ἅλμα χορείης,
ὃς δὲ πεσὼν στενάχιζεν, ὁ δ' ἐκροτάλιζε πεδίλῳ,
ὃς δὲ τυπεὶς ἤσπαιρεν, ὁ δ' ἐσκίρτησε Λυαίῳ·
ἄλλος ἀπὸ στομάτων πολεμήιον ἦχον ἰάλλων

18—24 post 26 collocant *mk*. — 20 *ἑλικώδεα WM*. — 22 *εἴκελος gmk*; *ἴκ- L*; *ἶκ- PFWMSVfl*. — 23 *σιλη̣νοὶ L*; *-νοὶ PFWMSVfl*. — 24 *κατα W*. — *βαλλοῦσαι M*; *βαλοῦσα W*. — 25 *σατύρων Lf***Ω*; *κατ- FWMSf*. — 27 *ἰνδοί δ' L*. — 28 *αὐλὸς* om. *W*. — 30 *θύρσα μέθυσσε* Koch[1] 179 (coll. 30, 259). — *ἔθυσε* (ut *g**) vel *ἴθ- L*; *ἴθυσε PFWSV*; *ἴθεσε M*; *ἴθυσσε fl* ('*ἔθυσσε* suspectum' Rhodom.); *δρουσε gm*; *ἔριζε k*: cf. Hom. *N* 130 sq. — 32 *στοχάδες W*. — *ἀλλήλοισιν WSV* ac. — 34 fol. 100r *L*, 92r *P*. — 35 *ἀείρων LΩ*; *ἀείδων g***k*. — 37 ὃ *δ' gmk* (ut 38. 40). — *δ' ἐκροτάλιζε* Scheindler[3] 428; *δὲ κρο- LΩ*. — *κροτάλιζεν ἀγοστῷ k**. — 38 *ἤσπερεν F*[1] (cr. *F*[2]) *M* (*ἦ- W*); *ἤσπηρεν V*. — ὃ *δ' LPFM*; ὃ *δ' gmk*. — *ἐσκ. πεδίλῳ k**.

Ἄρεος ἔγχος ἔμελπεν, ὁ δ' εἰλαπίνην Διονύσου·
καὶ τελετῇ Βρομίοιο συνεσμαράγησεν Ἐνυώ,
Εὔια δ' ἴαχε ῥόπτρα, καὶ ἡγήτειρα κυδοιμοῦ
λαὸν ἀολλίζουσα συνέκτυπε πηκτίδι σάλπιγξ,
σπονδῇ λύθρον ἔμιξε, φόνον δ' ἐκέρασσε χορείῃ.
ἔνθα πολὺ πρώτιστος, ἑῷ ποδὶ κοῦφος ὀρούσας,
ἀντία Δηριάδαο κατηκόντιζε Φαληνεύς,
καὶ τύχεν ἀρρήκτοιο σιδηρείοιο χιτῶνος·
οὐ δὲ τιταινομένη χροὸς ἥψατο λοίγιος αἰχμή,
ἀλλὰ παραΐξασα πάγη χθονί· λυσσαλέος δὲ
Δηριάδῃ πέλας ἐχθρὸν ἐπαΐσσοντα νοήσας
ἀλκήεις ἐκίχησε Κορύμβασος, ἐσσυμένου δὲ
λαιμὸν ἀπηλοίησε μεσαίτατον ἄορι τύψας,
καὶ κεφαλὴν ἤμησε· δαϊζομένου δὲ καρήνου
αἱμοβαφὴς ἀκάρηνος ἐπὶ χθόνα πῖπτε Φαληνεύς.
ἀμφὶ δέ οἱ μόθος ὦρτο πολύθροος· ἀκρότατον δὲ
Δεξίοχος Φλογίοιο μεσόφρυον ἔξεσε χαλκῷ,
πλήξας ἄκρα μέτωπα διχαζομένης τρυφαλείης·
αὐτὰρ ὁ ταρβήσας, ὀλίγον γόνυ γουνὸς ἀμείβων,

---

41 'fort. ponendus est ante 44' *k**. — *τελετῇ LPMV*; *-ετὴ W*; *τελέτη gmk*. — 42 *ῥόπτα S*. — *ἡγήτειρα f*lgmk*; *ἡγητῆρα LPFWMSVf*. — 43 *σάλπηγξ W*. — 44 *σπηνδῆ M*; *σπουδῆ S*. — *ἐμύξε S*. — *δὲ κέρασσε V*; *δ' ἐκέρασε S*. — 45 *ὀρούσας* Rhodom., *gk*; *ἐρύσσας LPFWMVfl*; *ἐρείσας* (ss. ϋ) *S*; *ἐρείσας m* ('quo admisso certe etiam *ἑὸν πόδα κοῦφον* scribere debebat; an *ἑῷ ποδὶ ταρσὸν ἐρείσας*?' *k**). — 48 *τιταινομένη k*; *-μένου LΩ*. — 49 *παρ' ἀΐξασα W*. — *πάγη fl* (cr. *c*). — *λυσσαλέος mk*; *διψαλέος LΩ*; an *σιγαλέος*? — *λυσσαλέον δὲ δήϊον, οἷα ῥέεθρον, ἐπ.* Cun. — 50 *Δηριάδῃ πέλας ἐχθρὸν* tentavi; *δηριάδην ἀπέλεθρον LPFWMVflgm*; *Δηριάδῃ πάλιν ἐχθρὸν k*. — *ἐπαϊχθέντα m*. — 51 *ἀλκήεις L* (Cun., Rhodom.) *gmk*; *ἀλκήεις W*; *ἀλκείης PFMSVfl*. — *κορύμβασοι M*; *-βατος V* ac.: cf. Lobeck[2] 405. — 53 *καρήνου LΩ*; *φάλοιο m*. — 54 *ἐπι M*. — *χθόνα πῖπτε gmk*; *χθονὶ πίπτε LΩ*. — 56 *ἔξεσε gmk*; *ἔξυσε LMΩ*. — 57 *διχαζομιῆς V* ac. — 58 *ὁ PVl*; *ὁ M*; *ὃ Ω*. — *ὀλίγον γόνυ γουνὸς ἀμείβων* Hom. *Λ* 547.

59 μηκεδανῇ κεκάλυπτο κασιγνήτοιο βοείῃ,
61 Δαρδανίης ἅτε Τεῦκρον ὀιστευτῆρα γενέθλης
62 εἰς σάκος ἑπταβόειον ἐδέχνυτο σύγγονος Αἴας,
60 πατρῴῃ συνάεθλον ἀδελφεὸν ἀσπίδι κεύθων.
63 αὐτίκα δ' ἐκ κολεοῖο Κορύμβασος ἄορ ἐρύσσας
αὐχένα Δεξιόχοιο κατεπρήνιξε μαχαίρῃ·
καὶ ταχὺς ἀσπαίροντι θορὼν περιδέδρομε νεκρῷ
οἰστρομανὴς Κλύτιος, πρυλέων πρόμος· ὑψιλόφου δὲ
κραιπνὸς ἐριπτοίητος ἀκόντισε Δηριαδῆος·
ἀλλὰ δόρυ προμάχοιο παρακλιδὸν ἔτραπεν Ἥρη,
καὶ Κλυτίῳ κοτέουσα καὶ Ἰνδοφόνῳ Διονύσῳ·
ἔμπης δ' οὐκ ἀφάμαρτε ταχὺς πρόμος· ἀλλὰ τορήσας
θηρὸς ἀμαιμακέτοιο πελώριον ἀνθερεῶνα
ὀρθοπόδην ἐλέφαντα κατέκτανε Δηριαδῆος·
καὶ μογέων ὀδύνῃσιν ὅλην ἐτίναξεν ἀπήνην
αὐχένι κυανέῳ περιδέξιος ἠλίβατος θήρ·
καὶ γένυν αἰθύσσων σκολιὴν προβλῆτα προσώπου
αἱμοβαφῆ ζυγίων ἀνεσείρασε δεσμὰ λεπάδνων·
ἀλλὰ πολυκλήιστον ὑπὸ ζυγὸν ἄορι κάμψας
αὐχενίων ἀνέκοψεν ὁμόζυγον ὁλκὸν ἱμάντων
ἡνίοχος ταχυεργός· ἀπ' εὐρυβάτοιο δὲ φάτνης
ὑψιφανῆ νέον ἄλλον ἑλὼν ἔζευξε Κελαινεύς.

---

59 μηκεδανὴ *WV*. — 61 et 62 ante 60 posuerunt Cun., *gmk*. — 62 ἐδέχνυτο *LΩ* (Cun., Rhodom.); ἀδ- *MV*; ἐδέχνυσο *Ffl*. — 60 πατρώῃ *PFWMVfl*. — 63 ἄορ *LWgmk*; ἄορ *PΩ*. — ἐρείσσας *S* ac. — 66 οἰστρομανὴς *LVgmk*; ἀστρομανὴς *PFMSfl*, pc. *W*; -νεὶς *W* ac. — 66 πρυλέων *f*lgmk*; πυλέων *LSΩ*. — ὑψολόφου *V*. — 68 ἔτραπεν *LPm* (ut 2, 164. 701. 29, 84. 372. 34, 84 et Hom. *E* 187); ἔτρεπεν *FWΩ*. — 70 ἔμπὺς *W*. — δ' *LPWMSV* (*k**); om. *Fflgmk*. — 73 ὀδύνῃ *l*. — 74 περιδέξιος *LΩ*; περιδέσμιον *m*; -δέσμιος *k*. — ἠλίβατος *W*. — 77 πολυκλέϊστον *m*; -κλεῖστον *m**. — 80 ὑψιφανῆ *LΩ*; -νὴ *M*; -νῆς *m*. — ἑλὼν *LlΩ* (Rhodom.); ἑλών *FSf*; ἑλῶν *f**; 'non opus ut ἄγων scribatur' *k**. — κελενεύς *W*.

καὶ Κλύτιος θρασὺς ἔσκεν ἀνεικέος ἐλπίδι νίκης·
Δεξιόχου δὲ φονῆα καλέσσατο θυιάδι φωνῇ,
λοίγιον ὑβριστῆρι χέων ἔπος ἀνθερεῶνι·
„στῆθι, κύων, μὴ φεῦγε, Κορύμβασε, καί σε διδάξω,
οἷοι ἀκοντιστῆρες ὀπάονές εἰσι Λυαίου.
ὑμέας εἰς Φρυγίην ληίσσομαι, ἄστεα δ' Ἰνδῶν
δῃώσει δόρυ τοῦτο, καὶ Ἰνδοφόνον μετὰ νίκην
Δηριάδην θεράποντα Διωνύσοιο τελέσσω·
παρθενικὴ δ' ἀνάεδνος ἐὴν λύσειε κορείην,
δεχνυμένη Σατύροιο δασυστέρνους ὑμεναίους,
Ἰνδὴ Μυγδονίοιο μιαινομένη σχεδὸν Ἕρμου.“
ὣς φαμένου κεχόλωτο Κορύμβασος, ἀψιμόθου δὲ
φθεγγομένου Κλυτίοιο διέθρισεν ἀνθερεῶνα·
καὶ κεφαλὴ πεπότητο μετάρσιος ἅλματι Μοίρης,
αἱμαλέῃ ῥαθάμιγγι περιρραίνουσα κονίην.
καὶ νέκυν ὀρχηστῆρα παλινδίνητον ἐάσας
Σειληνοὺς ἐφόβησε Κορύμβασος, ἔξοχος Ἰνδῶν,
ἔξοχος ἠνορέην μετὰ Μορρέα καὶ βασιλῆα.
αἰχμητὴν δὲ Σέβητα βαλὼν ὑπὲρ ἄντυγα μαζοῦ
χάλκεον ὤθεεν ἔγχος ἔσω χροός, αἱμαλέου δὲ

---

81 ἀνεικέος scripsi; ἀδευκέος LΩ (defend. Kreutz[1] 32); ἀκηδέος k. — 82 θυιάδι LF[1]Ω; θυάδι F[2]fl. — 83 ὑβρηστῆρι F ac. — 85 οἷον m. — ὀπάονες εἰσὶ FWVf. — 87 δηώσει Ffl. — 88 δηωνύσοιο (?) ac. L; διον- F[1]MSV. — 89 παρθενική δ' L. — 91 ἰνδοὶ W. — μιγδονίοιο V. — 92 ὢς FVf. — ἀψιμόθου scripsi; ὀψιμόθου LPFVflg; ὀψι- WM; ὀψίμοθος m; ὀψίμαθος m*; ὀψιμαθοῦς m* p. 237; ὑψινόου k; ὀξυμόθου vel ὑψιλάλου k*. — 93 φθεγγομένου LΩ; φθεγγόμενον g*; -γομένον m. — κλυτόοιο W ac. — 94 κεφαλὴν WV, ac. M. — ἅρματι W. — μοίρης, sed ης compendiose L, f*lgmk; μοίρου PFWMSVf. — 95 περιρρένουσα PF[1]WM (cr. F[2]). — 96 παλινδήνητον W. — ἐάσσας LPFMSVfl, ut solent; ἐ- W. — 97 σιληνοὺς iidem. — 98 ἠνορίην V. — βασιλῆα, sed σι ex δια cr. L. — 99 αἰχμητὴν δὲ gmk; -μητήν τε LΩ; -μήτην τε V. — σεβητα Ff. — 100 fol. 100v L, 92v P. — χρόος M, pc. V.

δούρατος ἑλκομένοιο χυτῇ κατέβαλλε κονίῃ.
Οἰνομάῳ δ' ἐπόρουσεν· ὁ μὲν φυγὰς εἴκελος αὔραις
εἰς στρατιὴν Βρομίοιο τεθηπότι χάζετο ταρσῷ·
καί μιν ἰδὼν ἐδίωκεν ὀπίστερος, ἐν δ' ἄρα νώτῳ
μεσσατίῳ δόρυ πῆξε· διαΐσσουσα δὲ ῥιπῇ
γαστέρος ἀντιπόροιο παρ' ὀμφαλὸν ἄνθορεν αἰχμή·
αὐτὰρ ὁ φοινήεντι πεπαρμένος ἀμφὶ σιδήρῳ
πρηνὴς ἀρτιδάικτος ἐπωλίσθησε κονίῃ·
τὸν δὲ κατὰ βλεφάρων θανατηφόρος ἔσκεπεν ἀχλύς.
οὐδὲ μόθων ἀπέληγε πέλωρ πρόμος· ἀλλὰ μαχηταὶ
τέσσαρες εὐπήληκες ἐνὶ κτείνοντο φονῇι,
Τυνδάριός τε Θόων τε καὶ Αὐτεσίων καὶ Ὀνίτης.
καὶ Πύλος ἀρτιδάικτος ἔην νέκυς, οὐ χθονὶ πίπτων
πρηνής, οὐ δαπέδῳ τετανυσμένος ὕπτιος ἀνήρ·
ἀλλὰ θανὼν ἀτίνακτος ἐπεστηρίζετο γαίῃ,
μαρναμένῳ προμάχῳ πανομοίιος, ὡς δόρυ πάλλων,
ὡς τανύων θοὰ τόξα καὶ ὡς βέλος εἰς σκοπὸν ἕλκων.
καὶ νέκυς ἀλκήεις ποθέων μετὰ πότμον Ἐνυὼ
νήματα Μοιράων ἐβιήσατο, δούρατι κούφῳ

---

101 *χυτῇ* et *κονίῃ FWflgmk*; *χυτὴ* et *κονίη LPMS*. — *κατέβαλε W* ac. — 102 *Οἰνομάνῳ m*. — *δ gmk*. — *εἴκελος gmk*; *ἴκ- LPWMS*; *ἶκ- FVfl*. — 105 *δορὺ gmk*. — *ῥιπῇ Lgmk*; *ῥιπὴ PSΩ*. — 106 *ἀντιπόροιο k* (coll. 820); *ἀρτιτόμοιο LSΩ*; *ἀντιτόμοιο g*; *ἀμφιτόμοιο m* — 107 *ὁ l*; *ὃ Ω*. — *πεπαργμένος W*. — 108 *ἐπωλίσθησε*, sed *l* pc. *L*; *-λῦσθησε* pc. *P*; *-λόσθησε M*, ac. *P*. — 109 *τῶ δὲ m*. — *κατα W*. — *ἔσκεπεν k*; *ἔσβεσεν LΩ* (*ἐ- P*); *ἔσβισεν V*; *ἔσβησεν M*; *ἔβρισεν m**; *ἔλλαβεν k**, Spitzner[1] 816 coll. Hom. — 110 *μόθον S* ac. — 111 *ἐνὶ κτείνοντο F[2]f** (coll. 32, 183) *cgmk*, pc. *V*; *ἐνικτείνοντο LSW* (*ἐνὶ κτ-* ac. *V*); *ἐνικτείνοντι PF[1]Mf* (*ἐνὶ κτ- l*). — 112 *Θόων τε* om. *MV*. — *αὐτεσίων LPFWMSV* (v. Lobeck[6] 427); *Ἀντεσίων flgmk*. — *Ὀνίτης Ω* (v. Lobeck[6] 395); *Ὀπίτης m*. — 113 *Πύλος k* (etiam *Πάλος k**); *πολὺς LΩ*. — 117 *εἰσκοπὸν S*. — 118 *μετὰ*, sed *μ* pc. *L*. — 119 *ὡρ[αῖον] F[1]* im.

εἴκελος αἰχμάζοντι, πολυσπερέων ἀπὸ τόξων
ἐκ κεφαλῆς βελέεσσι πεπαρμένος εἰς πόδας ἄκρους,
Ἄρεος ὀρθὸν ἄγαλμα· καὶ αἰχμητῆρα θανόντα
ὄμμασι θαμβαλέοισιν ἐθηήσαντο μαχηταί,
ἔγχος ἔτι κρατέοντα καὶ οὐ ῥίψαντα βοείην,
νεκρὸν ἀκοντιστῆρα καὶ ἄπνοον ἀσπιδιώτην.
καί τις Ἀθηναίοιο τυχὼν δασπλῆτι σιδήρῳ
δεξιτερὴν ἤμησε, βραχίονος ἄκρον ἀράξας·
ἡ δὲ κυβιστήσασα φόνου βητάρμονι παλμῷ
ἤριπεν ἀρτιδάικτος, ὁμήλικι σύμπλοκος ὤμῳ,
ξανθὰ διαστίζουσα κατάρρυτα νῶτα κονίης.
καί νύ κεν ἀλλομένης ταναὸν δόρυ χειρὸς ἐρύσσας
ἔγχεϊ τηλεβόλῳ παλινάγρετον εἶχεν Ἐνυώ,
καὶ λαιῇ πολέμιζε δορυσσόος ἀντίτυπος χείρ·
ἀλλά μιν ἀντικέλευθος ἀνάρσιος ἔφθασεν ἀνήρ,
καὶ λαιὴν προθέλυμνον ἀμοιβάδι τύψε μαχαίρῃ·
καὶ παλάμη χθονὶ πῖπτεν, ἀκοντίζων δὲ φονῆα
αἱμαλέης ἔρραινεν ἑκηβόλος ὁλκὸς ἐέρσης
πορφυρέαις λιβάδεσσιν, ὑπὲρ δαπέδοιο δὲ δειλὴ
ἅλμασιν αὐτοκύλιστος ἐπάλλετο μαινομένη χείρ
αἵματι φοινιχθεῖσα, καὶ ἀγκύλα δάκτυλα γαίῃ
εὐπαλάμῳ σφήκωσε μέσῳ γαμψώνυχι δεσμῷ,
οἷα περισφίγγουσα πάλιν τελαμῶνα βοείης.
καί τινα μῦθον ἔειπεν Ἀρήια δάκρυα λείβων·

---

120 ἴκελος *LPWMS*; ἴκ- *FVfl.* — 123 μαχηταί, ἔ. ἔ. κρ. κ. οὐ ῥίψαντα om. *V.* — 126 καὶ τις *V.* — 128 ἣ *gmk.* — φόνον vel φόνου *S.* — 129 ἀρτιδάικτος *LΩ* (Rigler[5] 10); αὐτοδ- *gm.* — σύμπλοος *W.* — 131 καὶ νύ *PFWMVfl.* — ἀλλομένης *FWMSf.* — ἐρύσας *F*[1]. — 132 τηνεβόλῳ *S.* — 133 πτολέμιζε *LPFWMSVfl.* — 136 παλάμῃ *PWMV.* — πῖπτεν *gmk*; πί- *LΩ*: item 156. — 139 ἅρμασιν *l* (cf. 2, 434). — 141 εὖ παλάμῳ *PMS*; εὐπλοκάμῳ *V.* — μέσῳ om. *MV*; μέσῃ *m.* — 143 καὶ τ. μῦθον *V.*

„ἄλλην εἰσέτι χεῖρα λιλαίομαι, ὄφρα τελέσσω
τριχθαδίαις παλάμῃσιν ἐπάξια Τριτογενείης·
ἔμπης καὶ μετὰ χεῖρας ἀνάρσιον ἄνδρα διώξω·
τοῦτό μοι ἠνορέης ἔτι λείψανον, ὄφρά τις εἴπῃ
εὖχος Ἀθηναίων περιδέξιον, ὅττι καὶ αὐτοῖς
ποσσὶν ἀριστεύουσι δαϊζομένων παλαμάων."
ὣς εἰπὼν προμάχοισιν ἐπέδραμεν εἴκελος αὔραις,
ὑσμίνην ἀσίδηρον ἐπευτύνων ὀλετῆρι.
οἵ δέ μιν ἀθρήσαντες ἐθάμβεον ἄλλος ἐπ' ἄλλῳ,
καὶ πρόμον ἡμιτέλεστον ἐκυκλώσαντο μαχηταὶ
ἀμφιλαφεῖς· ὁ δὲ μοῦνος ἀφειδέι δέκτο μαχαίρῃ
πληγὴν ἀλλοπρόσαλλον ἀμοιβαίοιο σιδήρου·
καὶ μόγις εἰς χθόνα πῖπτεν· ἔην δέ τις Ἄρεος εἰκὼν
ὀψιγόνῳ ναετῆρι φυλασσομένη γενετῆρα.
οὐ τότε μοῦνος ὅμιλος ἐτέμνετο πεζὸς ὁδίτης,
ἀλλὰ καὶ ἱππήεσσιν ἔην φόνος· ἔστιχε δ' ἄλλος
ἄλλῳ πότμον ἄγων· ἐλατὴρ δ' ἐλατῆρα κιχήσας,
ἢ προτέρῳ φεύγοντι μετάφρενα δουρὶ δαΐζων,
ἢ σχεδὸν ἀντιόωντα κατὰ στέρνοιο τυχήσας,
ἱππόθεν ἀρτιδάικτον ἀπεστυφέλιξε κονίῃ.
καί τις ὑπὲρ λαπάρην βεβολημένος ἵππος ὀιστῷ

---

144 εἴσετι *g*. — 145 τριχθαδίαις *gmk*; -δίης *LPWMSVl* (Koch[1] 191); -δίης *Ff*. — 147 ὄφρά *PM*; ὄφρα *Ω*. — τίς *Ffl*. — 148 αὐτοῖς *gmk*; αὐτοὶ *LΩ*. — 150 ὡς *Ffl*. — ἴκελος *LP*; ἴκ- *FMfl*. — 152 οἳ *gmk*. — 153 ἡμιτέλεστον *LΩ*; ἡμιδάικτον *k*. — 154 ὃ *gmk*. — ἀφειδέι δ. μαχαίρῃ (-η) *LΩ*; ἀφειδέα δ. μαχαίρης *k*. — 155 ἀμοιβαίοισι *l*. — 157 ναετῆρι *LΩ* (ut 37, 322. 443?); ῥαιστῆρι? cf. 202. Hom. ε 221. ψ 236. — φυλασσομένη γενετῆρα tentavi (coll. 9, 227); φυλασσομένω γενετῆρι *L*; φυλασσομένῳ (-νω *PM*) γενετῆρα *Ω*; φυλασσομένου Κυνεγείρῳ *f'g*; φυλασσομένη Μαραθῶνος Cun.; φυλασσομένη Κυνεγείρῳ *m*; φυλασσομένου Μαραθῶνος *k*: cf. Anthol. gr. VII 741. XI 335. XVII 58, 6. — 160 ἐλατὴρ δ' *L*. — 161 προτέρω *LPFMk*; -ρῳ *flgm*. — φεύγοντι *k*; -τα *LΩ*. — 164 λαπάρὶν *PM*. — βεβολαμένος *M*, ac. *F*.

εἰς πέδον ἠκόντιζεν ἀπόσσυτον ἡνιοχῆα,
οἷος ἀερσιπότητος ἀλήμονι σύνδρομος αὔρῃ
Πήγασος ὠκυπέτης ἀπεσείσατο Βελλεροφόντην·
ἄλλος ἐριπτοίητος ὀλισθηρῶν ἀπὸ νώτων
ὄρθιος ἱππείης διὰ γαστέρος εἰς χθόνα πίπτων
κύμβαχος ἐστήρικτο παρήορος, ἀμφὶ δὲ γαίῃ
κρᾶτα βαλὼν ἐκύλισσε, λιπὼν πόδας εἰς ῥάχιν ἵππου.
 καὶ βριαροὶ Κύκλωπες ἐκυκλώσαντο μαχητάς,
Ζηνὸς ἀοσσητῆρες· ὁμιχλήεντι δὲ λαῷ
Ἀργίλιπος σελάγιζε φεραυγέα δαλὸν ἀείρων,
καὶ χθονίῳ κεκόρυστο πυριγλώχινι κεραυνῷ
μαρνάμενος δαΐδεσσι· καὶ ἔτρεμον αἴθοπες Ἰνδοὶ
οὐρανίῳ πρηστῆρι τεθηπότες ἀντίτυπον πῦρ·
καὶ πυρόεις πρόμος ἦεν· ἐπ' ἀντιβίων δὲ καρήνοις
Γηγενέος σπινθῆρες ἐτοξεύοντο κεραυνοῦ·
καὶ μελίας νίκησε καὶ ἄσπετα φάσγανα Κύκλωψ,
σείων θερμὰ βέλεμνα καὶ αἰθαλόεσσαν ἀκωκήν,
δαλὸν ἔχων ἅτε τόξα· καὶ ἄσπετον ἄλλον ἐπ' ἄλλῳ
Ἰνδὸν διστευτῆρι κατέφλεγεν ἀνέρα πυρσῷ,
οὐχ ἕνα Σαλμωνῆα, νόθῳ δ' ἤλεγξε κεραυνῷ·

165 = 36, 238. — 166 fol. 101ʳ *L*, 92ʳ *P*. — ἀλήμονι σύνδρομος *LΩ*; ἀλήμονα σύνδρομον *g**; ἀλήμονι σύνδρομον *m*. — 167 = 11, 146. — ὠκυπέτης *LPFMfl* (Tiedke² 63); -πετὴς *gmk*. — 169 ἱππείης ex ἱππήεις cr. *L*. — διὰ *LΩ*; 'παρὰ?' *k**. — 170 κύβακχος *F*¹*f* (cr. *F*²*f**); κύυβακχος *l* (cr. *c*). — παρήορος *gmk*. — 171 κράτα *Ffl*. — 173 ὁμιχλήεντι *M*, ac. *F*, *k* (cr. *k**). — 174 'Ἀργίλιπος idem esse debet qui 14, 60 Ἄργης dicitur; an locus corruptus?' *k**. — δαλόν, sed ὁ ex λ cr. *L*, ac. *P*, *g* (coll. 182) *mk*; δαλλὸν *M*, pc. *P*; θαλλὸν *Ffl*. — 176 μαρνάμενος *gmk*; μαρναμένους *LΩ*. — 179 κεραυνοῦ Cun., *gmk*; καρήνου *LΩ*. — 181 βέλεμνα Cun., *gmk*; λέπαδνα *LΩ* (ex 29, 204?). — αὐθαλόεσσαν *F*¹ (cr. *F*²): cf. 30, 107. — 182 καὶ om. *l* (add. *c*). — 183 'quae sequuntur sunt mutila' Scaliger. — 184—186 uncis inclusit *g* ('videntur aliunde desumti' *g**). — οὐχ (οὐχ' *l*) ἕνα *f***lgmk*; αὐχένα *LΩ*. — νόθῳ (-ω *LFM*) δ' ἤ. κεραυνῷ (-ῶ *P*) *Ω*; νόθων δ' ἤ. κεραυνῶν *gmk*.

οὐχ ἕνα μοῦνον ἔπεφνε θεημάχον· οὐ μία μούνου
Εὐάδνη στενάχιζε μαραινομένου Καπανῆος.
καὶ Στερόπης κεκόρυστο σέλας μιμηλὸν ἑλίσσων,
αἰθερίαις στεροπῇσι φέρων ἀντίκτυπον αἴγλην,
σβεστὸν ἔχων ἀμάρυγμα, τό περ τέκεν Ἑσπερίη φλόξ,
σπέρμα πυρὸς Σικελοῖο καὶ αἴθοπος ἐσχαρεῶνος·
καὶ νεφέλη σκέπας εἶχεν ὁμοίιον, ἐνδόμυχον δὲ
κρύπτε καὶ ἄψ ἀνέφηνε σέλας διδυμάονι παλμῷ,
φέγγεος οὐρανίοιο φέρων τύπον· ἀστεροπὴ γὰρ
ἐρχομένη φεύγουσαν ἔχει παλινάγρετον αἴγλην.
καὶ Βρόντης πολέμιζε μέλος κελαδεινὸν ἀράσσων,
βρονταίοις πατάγοισι χέων ἀντίκτυπον ἠχώ·
καὶ ξείνῃ ῥαθάμιγγι χαμαιγενέος νιφετοῖο
ποιητὸν προχέων μινυώριον αἴθριον ὕδωρ
μιμηλαῖς λιβάδεσσι νόθος πέλεν ἀννέφελος Ζεύς.
βροντῆς δ' ἰσοτύπου τεχνήμονα δοῦπον ἐάσας
εἰς φόνον ἀντιβίων Σικελῷ κεκόρυστο σιδήρῳ,
καὶ δονέων ῥαιστῆρα μετάρσιον ὑψόθεν ὤμων
δυσμενέων ἤρασσε καρήατα πυκνὰ σιδήρῳ·
τύπτε δ' ἐπιστροφάδην ζοφερὰς στίχας, οἷά περ αἰεὶ

185 οὐχ' *Ll*. — μια μούνου *k*; μία μούνη *LΩ*. — 187 Στερόπης Rhodom., *gmk*; στεροπῆς *LΩ*. — 188 ἀντίκτυπον f^**lgmk*; ἀντίτυπον *LΩ*. — 189 σβεστὸν *LΩ* (Lobeck[4] 430); 'κλειστὸν?' k^*. — τάπερ *m*. — 192 ἀνέφηνε *PFMfl*. — 194 ἐρχομένη *Mgmk*; -νην *LΩ* (defend. Koch[1] 179 ex 7, 75. 29, 102). — 195 βρόντης (Βρ-) F^2*flgmk*; βροντῆς *LΩ*. — πτολέμιζε *LPFMfl*. — 197 ξείνῃ *LΩ*; -νη F^1*Mf*; -νην F^2f^*l. — ῥαθάμιγγι χαμαιγενέος *LΩ*; ῥαθάμιγγα μαιγενέος F^1f; ῥαθάμιγγα νεηγενέος F^2f^*l (βιαιγενέος Scaliger). — 199 λιβάδεσσι ss. *LP*, it. *FΩ*; νιφάδεσσι *LP* it. — 200—232 post 237 posuerunt *mk*. — βροντῆς *LF*^{1}*Ω*; βρόντης F^2*fl*. — Βρόντης δ' ἰσότυπος *m*; Βρόντης δ' ἰσότυπον k^*. — ἐάσσας *LPFMfl*. — 202 et 203 om. it., add. im. *F*. — 203 πυκνὰ *gmk*; πικρὰ *LΩ*. — 204 τύπτε δ' ἐπιστροφάδην Hom. Φ 20 affert Lehrs[1] 285.

Αἰτναίῳ πατάγῳ σφυρήλατον ἄκμονα τύπτων.
καὶ σκοπιῆς πρηῶνα τανυκρήπιδος ἀράξας
ἔγχεϊ πετρήεντι κατέτρεχε Δηριαδῆος·
καὶ παλάμῃ περίμετρον ἀφειδέι πέτρον ἰάλλων
ἄντα κορυσσομένοιο μελαρρίνου βασιλῆος
στήθεα λαχνήεντα χαραδραίῃ βάλεν αἰχμῇ·
αὐτὰρ ὁ τοσσατίῳ μεθύων μυλοειδέι πέτρῳ
στέρνον ὅλον βεβάρητο· φόνον δ' ἤμυνεν Ὑδάσπης
παιδὸς ἑοῦ βληθέντος. ὁ δὲ θρασύς, ἕλκεϊ κάμνων,
ἀκαμάτων δόρυ θοῦρον ἑῶν ἀπεσείσατο χειρῶν,
χάλκεον εἰκοσίπηχυ, πέδῳ δ' ἔρριψε βοείην
αἰδομέναις παλάμῃσι· καὶ ἀδρανὲς ἄσθμα τιταίνων,
μαρμαρέῃ γλωχῖνι τετυμμένος ἄντυγα μαζοῦ,
ἠερόθεν προκάρηνος ἀπ' ἠλιβάτου πέσε δίφρου,
ὡς ἐλάτη περίμετρος ὑπέρλοφος — ἡ δὲ πεσοῦσα
ἄσπετον εὐρείης περιδέδρομε κόλπον ἀρούρης —.
ἀμφὶ δέ μιν προχυθέντες ἐς ἅρματα κούφισαν Ἰνδοί,
δειδιότες Κύκλωπα δυσειδέα, μή τινι ῥιπῇ
ὑψιτενῆ πάλιν ἄλλον ἑλὼν πρηῶνα κολώνης
τρηχαλέῳ βασιλῆα κατακτείνειε βελέμνῳ,
μῆκος ἔχων ἰσόμετρον ἀερσιλόφου Πολυφήμου.

---

205 *αἰτναίῳ LF²f²Ω* (-ω *PM*); *αἰπνείω F¹f*. — ἄκτονα *L* ac. — 207 *πετρήεντι gmk*; *ποτήεντι LΩ*. — 209 *κορυσσομένοιο*, sed ἐν po. *L*. — 211 δ *Ω*. — *μεθύων L*; *μεθῦω*, sed ῦω perplexe *P*; *μεθύσοις F¹*; *μεθύσας F²Mflgm²k*; *μινύσας m*. — 213 δ *gmk*. — *θρασύς LΩ*; *βραδύς f''k*. — 216 ἄσθμα *Ω*. — 217 *γλώχινι g*. — 219 ἡ δὲ *LΩ*; ἦ τε vel ἦτε *gmk* (sed v. Lehrs[1] 270, qui ci. εὖτε coll. 14, 382). — 220 *εὐρειης Ff*. — 221 ἀμφὶ *LΩ*; ῥίμφα *g²*. — *προχυθέντες ἐς ἅρματα* scripsi; *προχυθέντες ἐς ἄρηα* (ἄρηα *P*) ss. *LP*; *δασπλῆτες ἐς ἅρματα* it. *LPFflgm* (cf. 46, 210); *προχυθέντες ἐς ἄρηα* (his verbis im. repetitis it. linea subscripta) *δασπλῆτες ἐς ἅρματα M* (v. Lch[4] 288); *προχυθέντες ἐς ἄρεα* [*θυιάδι ῥιπῇ Δηριάδην*] *δασπλῆτες ἐς ἅρματα* (*k*) *k²*. — 222 '*δυσεργέα?*' *k²*. — 223 *κολώνης* Rhodom., *gmk*; *κολώνην LΩ*.

καὶ βλοσυροῦ προμάχοιο μέσῳ σελάγιζε μετώπῳ
μαρμαρυγὴ τροχόεσσα μονογλήνοιο προσώπου·
καὶ βλοσυροῦ Κύκλωπος ὑποπτήσσοντες ὀπωπὴν
θαμβαλέῳ· δεδόνηντο φόβῳ κυανόχροες Ἰνδοί,
οὐρανόθεν δοκέοντες Ὀλυμπιὰς ὅττι Σελήνη
Γηγενέος Κύκλωπος ἐναντέλλουσα προσώπῳ
πλησιφαὴς ἤστραπτε, προασπίζουσα Λυαίου.
Ζεὺς δὲ πατήρ, Κύκλωπος ἰδὼν μίμημα κυδοιμοῦ,
ὑψινεφὴς ἐγέλασσεν, ὅτι χθονίων νεφελάων
δεχνυμένη ξένον ὄμβρον ἀπειρήτου διὰ κόλπου
νίφετο μὲν τότε γαῖα, χυτὴν δ' οὐκ εἶχεν ἐέρσην
ἄβροχα νῶτα φέρων γυμνούμενα δίψιος ἀήρ.
καὶ Τράχιος κεκόρυστο· κασιγνήτῳ δ' ἅμα βαίνων,
ἠλιβάτῳ παλάμῃ δονέων σάκος ἶσον ἐρίπνῃ,
ὑψινεφὴς ἐλάτην περιμήκετον εἶχεν Ἐλατρεύς,
ἔγχεϊ δενδρήεντι καρήατα δήια τέμνων.
Εὐρύαλος κεκόρυστο· διατμήξας δὲ κυδοιμῷ
ἐκ πεδίου φεύγοντα πολὺν στρατὸν ἄχρι θαλάσσης,
κόλπον ἐς ἰχθυόεντα περικλείων στίχας Ἰνδῶν,
δυσμενέας νίκησεν ἀκοντοφόρου διὰ πόντου,
ὄρθιον εἰκοσίπηχυ δι' ὕδατος ἄορ ἑλίσσων·
καὶ δολιχῷ βουπλῆγι ταμὼν ἀλιγείτονα πέτρην
ῥῖψεν ἐπ' ἀντιβίοισιν· ἀτυμβεύτοιο δὲ πολλοὶ

226 μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐνέκειτο μετώπῳ Hes. theog. 143. — σελάγισε L ac. — 227 τρυχόεσσα F^1. — 229 'ne quis ταρβαλέῳ coniiciat, et stupent et timent Indi' k*. — 231 κύκλωπος om. P ac. — 232 fol. 101ᵛ L, 92ᵛ P. — 233 (v. ad 200) κυδοιμοῦ LΩ; κεραυνοῦ k. — 234 χθονίων Heinsius, gmk; χρονίων LΩ. — 236 χυτήν δ' L; χυτὸν δ' Ffl. — 238 Τράχιος g (coll. 14, 60) mk; τράγιος LΩ. — 'ne quid excidisse putes' g*. — 241 ἔγχει l. — 242 κυδοιμῷ k; -μοῦ LΩ; -μὸν gm. — 246 εἰκοσιπϋχϋ P. — ἄορ gmk; ἄορ LΩ; 'ἔγχος?' g*. — 248 ῥῖψεν gmk; ῥί- LΩ.

διχθαδίης ἐνόησαν ἀλιβρέκτου λίνα Μοίρης,
Ἄρεϊ κυματόεντι καὶ ὀκριόεντι βελέμνῳ.
  τοῖς ἅμα σύγγονος ἄλλος ἀριστεύων Ἁλιμήδης
ἠλιβάτοις μελέεσσι πέλωρ βακχεύετο Κύκλωψ,
καὶ δηίους ἐφόβησε· φυλασσόμενος δὲ προσώπου
κυκλάδος ὀμφαλόεντα προΐσχανε νῶτα βοείης.
καί μιν ἰδὼν Φλόγιος κταμένων τιμήορος Ἰνδῶν
τόξον ἑὸν κύκλωσε, καὶ ἠνεμόεν βέλος ἕλκων
μεσσοφανῆ πτερόεντι βαλεῖν ἤμελλε βελέμνῳ·
ἀλλὰ τιτυσκομένοιο μαθὼν ἀντώπιον ὁρμὴν
δόχμιος ἐσσυμένοιο βολὴν ἀλέεινεν ὀιστοῦ
Κύκλωψ ὑψικάρηνος· ὁ δὲ πρηῶνα τινάσσων
ῥῖπτε κατὰ Φλογίου κραναὸν βέλος· αὐτὰρ ὁ φεύγων
ἅρμασι βουκεράοιο παρίστατο Δηριαδῆος,
καὶ μόγις ἠερόφοιτον ἀλεύατο μάρμαρον αἰχμήν,
κεῖθι μένων· κοτέων δὲ περὶ Φλογίοιο φυγόντος
λοίγιον ἀνθερεῶνα διαπτύξας Ἁλιμήδης
δώδεκα φῶτας ἔπεφνε μιῆς μυκήματι φωνῆς,
λυσσαλέης προχέων ὀλεσήνορα βόμβον ἰωῆς.
  Κυκλώπων δ' ἀλαλητὸς ἐπεσμαράγησεν Ὀλύμπῳ
γλώσσαις σμερδαλέῃσι. καὶ ὀρχηστῆρες Ἐνυοῦς,
Δικταῖοι Κορύβαντες ἐπεστρατόωντο κυδοιμῷ.
  Δαμνεὺς μὲν πολέμιζεν ἀνάρσια φῦλα διώκων

--- —

250 ὀκριόεντι LΩ; ὀκρυόεντι Ffl. — 257—277 ante 251 posuerunt gmk. — 258 μελέεσσι gmk; βελ- LΩ. — 259 δηίους L ac.; δηΐ- F²flm; δῄους L pc., P; δήους F¹M; δήιους g. — φυλασσόμενος g²mk (cf. 22, 306); φυλασσομένου LΩ. — 261 τιμήορος gmk; τιμηορὸς LΩ. — post 263 lacunam indicavit k. — 266 ὃ gmk. — 2 7 ῥῖπτε gmk; ῥί- LΩ. — ὁ Mfc; ὃ Ω. — 276 = 29, 216 — 277 πτολέμιζεν LPF'Mfl. — ἀνάργια M. — φῦλα διώκων om. M. — διώκων LΩ; δαμάζων k. — post h. vs. lacunam indicavi.

251 ἐν πεδίῳ δ' ἀλαλητός· ὀρινομένῃσι δὲ Βάκχαις
Πρυμνεὺς εὔδιος ἦλθεν, ἅτε πρυμναῖος ἀήτης
ῥυόμενος πλωτῆρα συνιππεύοντα θυέλλαις·
καὶ στρατιῇ πολύευκτος ἐπήλυθεν, οἷος ἱκάνει
255 νηυσὶ τινασσομένῃσι γαληναῖος Πολυδεύκης,
256 εὐνήσας βαρὺ κῦμα θυελλοτόκοιο θαλάσσης.
278 ποσσὶ δ' ἐλαφροτέροισι διεπτοίησε μαχητὰς
Ὠκύθοος· πολέας δὲ κατέκτανεν ὀξέι πότμῳ,
280 τὸν μὲν ἐνὶ σταδίῃ δαμάσας δορί, τὸν δὲ βελέμνῳ
τηλεφανής, ἕτερον δὲ ταμὼν δασπλῆτι μαχαίρῃ·
ἄλλον ἔτι προθέοντα, πεφυγμένον εἴκελον αὔραις,
λυσσήεις ἐκίχησε ποδήνεμα γούνατα πάλλων,
εἰς δρόμον Ἰφίκλῳ πανομοίιος, ὅς τις ἐπείγων
285 ταρσὰ ποδῶν ἀβάτοιο κατέγραφεν ἄκρα γαλήνης,
καὶ σταχύων ἐφύπερθε μετάρσιον εἶχε πορείην,
ἀνθερίκων πάτον ἄκρον ἀκαμπέα ποσσὶν ὁδεύων.
Ὠκύθοος πέλε τοῖος ἀελλόπος. ἐν δὲ κυδοιμοῖς
εἱλιπόδην ἔστησε Μίμας εὔρυθμον Ἐνυώ,
290 καὶ στρατὸν ἐπτοίησε, χοροίτυπον ἄορ ἑλίσσων,
σκαρθμὸν ἔχων ἀγέλαστον ἐνόπλιον ἴδμονι ταρσῷ

---

251 (v. ad 250) 'mutilus est, et videntur post ἀλαλ. duo saltem hemistichia deesse' *g**. — ἀλαλητὸς *LΩ*; ἀδαμαστός· *m*; ἆλα λῆγεν ὀρινομένης Ἰοβάκχαις Koch[1] 191. — duo hemistichia excidisse indicat *k*. — ὀρινομένῃσι (-ησι *L*) δὲ Βάκχαις *f***Ω*; -μένησι δ βάκχαις *PM*; -μένῃσι^ν (-μένησιν *f*) δ βάκχαις *F*; -μένης Ἰοβάκχαις Canter. — 252 πρημναῖος *F*[1] (cr. *F*[2]). — 254 στρατιῇ *gmk*; -τιῇ *LΩ*. — 255 τινασσομένῃσι *LF*[2]*f***Ω*; νασσομένῃσι *F*[1]*Mf*. — 278 ποσσὶ δ' *L*. — 279 ὀξέι *LΩ*; ὠκέι *k*. — 282 ἔτι *LΩ* (ut 87, 452); 'ἀεὶ ?' *k**. — ἴκελον *LP*; ἴκ- *FMfl*. — 284 'ὅς ποτ' ?' *k** (sed v. Lch[1] 20). — 287 πάτον scripsi ([6] 473, olim ad Maxim. 424 βάτον coniiciens, quod fort. loco 14, 368 defendas); στατὸν *LΩ*; στρατὸν *gmk*. — 288 ἀελλόπος *LPM*; ἀελλοπός *Ffl*; ἀέλλοπος *gmk*. — 289 εἰλιπόδην *LPl*; εἰλ- *FΩ* (Lobeck[6] 271). — 290 ἄορ *LPFMfl*.

οἷον ὅτε Κρονίοισιν ὑπ' οὔασι δοῦπον ἐγείρων
Πύρριχος Ἰδαίοισι σάκος ξιφέεσσιν ἀράσσων
ψευδομένης ἀλάλαξε μέλος μενεδήιον Ἠχοῦς,
295 Ζηνὸς ὑποκλέπτων παλιναυξέος ἔγκρυφον ἥβην·
τοῖον ἔχων μιμηλὸν ἐνόπλιον ἅλμα χορείης
χαλκοχίτων ἐλέλιξε Μίμας ἀνεμώδεα λόγχην·
τέμνων δ' ἐχθρὰ κάρηνα, σιδήρεα λήια χάρμης,
Ἰνδοφόνοις πελέκεσσι καὶ ἀμφιπλῆγι μαχαίρῃ
300 δυσμενέων ἐτίταινε θαλύσια μάρτυρι Βάκχῳ,
ἀντὶ θυηπολίης βοέης καὶ ἐθήμονος οἴνου
302 λοιβὴν αἱματόεσσαν ἐπισπένδων Διονύσῳ.
309 καὶ ποδὸς ἀσταθέος κυκλούμενος ἴδμονι ταρσῷ,
310 σύνδρομος Ὠκυθόῳ κορυθαιόλος ἤιεν Ἄκμων·
μάρνατο δ' ἀστυφέλικτος ἅτε σφυρήλατος ἄκμων,
ἀσπίδα κουφίζων Κορυβαντίδα, τῆς ἐνὶ μέσσῳ
πολλάκις ὕπνον ἴαυεν ἐν οὔρεσι νηπίαχος Ζεύς·
καὶ Διὸς οἶκος ἔην ὀλίγον σπέος, ἔνθά ἑ κείνη
315 αἴξ ἱερὴ γλαγόεντι νόθῳ μαιώσατο μαζῷ,
ξεῖνον ἀναβλύζουσα σοφὸν γλάγος, εὖτε βοείῃ
κλεψιτόκοις πατάγοισι σακέσπαλον ἔβρεμεν Ἠχώ,
318 τυπτομένη μέσα νῶτα κυβιστητῆρι σιδήρῳ.
322 ὧν χάριν ἀσκήσασα λίθον ψευδήμονα Ῥείη
323 ἀντίδοτον Κρονίδαο Κρόνου παρέθηκε τραπέζῃ.

---

292 ὑπ' LΩ; ἐπ' k. — 295 παλιναύξεος LPFMf. — 296 ἅρμα L^1 (cr. L^3); αἷμα F^1 (cr. F^3). — 299 Ἰνδφόις (in) m*. — 300 fol. 102r L, 93r P. — 302 = 17, 160. — 309—318 inter 302 et 322 posuerunt mk. — χωλούμενος m. — 310 κορυθαιόλος LPM; -αίολος FΩ. — 312 ir. P. — τῆς Rhodom. ap. Herm.[1] 752, gmk; ἧς LΩ. — 314 ἔνθά LP; ἔνθα FΩ; ἐνθά M. — ἑ κείνη LP (Cun., Rhodom.); ἐκείνη FΩ; ε κείνη M; ἑ κλεινὴ m. — 317 'κλεψιγόοις?' k*. — σακεσπάλον LPM. — ἠχὴ m. — post 318 statim ponendos esse 322 et 323 monuit Rhodom., quem secuti sunt gmk; 319—321 inter 308 et 324 collocat k, inter 308 et 309 g, post 29, 14 m.

303 ὀξυφαὴς δ' Ἰδαῖος ἐδύσατο κῶμον Ἐνυοῦς,
ὀρχηστὴρ πολέμοιο πολύτροπον ἴχνος ἑλίσσων,
305 ἄσχετος Ἰνδοφόνοιο μόθου δεδονημένος οἴστρῳ.
καὶ ζοφερὴν στίχα πᾶσαν ἀνεπτοίησε Μελισσεύς,
θάρσος ἔχων ἀδόνητον· ἐπωνυμίην δὲ φυλάσσων
308 φρικτὰ κορυσσομένης μιμήσατο κέντρα μελίσσης·
319 καὶ βαλίου Κουρῆτος ἀκοντιστῆρα τιταίνων
320 μάρμαρον ἀντιπόροιο Μελισσέος ἤμβροτε Μορρεύς,
321 ἤμβροτεν· οὐ γὰρ ἔοικε μύλῳ Κορύβαντας ὀλέσσαι.
324 ξυνὴν δ' εἰς ἓν ἰόντες ὁμόζυγον εἶχον Ἐνυὼ
325 Ἄρεος ὀρχηστῆρες ἀτερπέος· ἀμφὶ δὲ δίφρῳ
Δηριάδην στεφανηδὸν ἐμιτρώσαντο βοείαις
τεύχεα πεπλήγοντες, ἐν εὐρύθμῳ δὲ κυδοιμῷ
πύργον ἐκυκλώσαντο φερεσσακέεσσι χορείαις.
ἠχὴ δ' ἠερόφοιτος ἀνέδραμεν εἰς Διὸς αὐλάς,
330 καὶ κτύπον ἀμφοτέρων ἐπεδείδιον εὔποδες Ὧραι.

303 (v. supra) ὀξυφαής *L* (cf. 7, 214); -φανής *P*; -φανὴς *FΩ*; ὀψιφανὴς *m*. — 304 πτολέμοιο *LPFfl*. — 306 ἀνεπτοίησε *gmk*; ἐν- *LΩ*. — 307 ἀδόνητον Rhodom., *gmk*; ἀδίνητον *LΩ*. — 319 de transpositione v. supra. — 321 μύλῳ scripsi; μόθω *LPM*; -ῳ *F'fl*; λίθῳ *f''gmk*. — 324—330 ante 277 ponendos esse ci. *g**. — ξυνήν δ' *L*. — εἶχεν *f* (non *F*). — 327 πεπλήγοντες] v. Lobeck[5] 37. Lehrs[1] 291. O. Schneider[1] 151. — 328 πῦργον *F'fl*; δίφρον *g**; κύκλον *m*. — ἐπυργώσαντο *m*. — 329 ἠχή δ' *LP*; Ἠχὼ δ' *m*. — 330 'ἀμφοτέρωθεν ἐδείδιον?' *k** coll. Lehrsio[1] 275; -τέρων ὑπεδείδιον? cf. 43, 11.